UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Cap. XII. De Tarbula Symeonis sorore, deque ejus Martyrio.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

longe chariſſimus. Quem cum Sapores peremptum accepiſſet, incredibili dolore perculſus eſt. Et hanc quidem generalem Chriſtianorum cædem compreſſit: ſolos vero Chriſtianæ legis doctores interimi præcepit.

Cap. XII.

De Tarbula Symeonis ſorore, deque ejus Martyrio.

Per idem tempus cum regina in morbum incidiſſet, Symeonis Epiſcopi ſoror nomine Tarbula, virgo devota comprehenditur, unà cum famula ipſius quæ idem vitæ genus ſectabatur, & cum altera ſorore quæ poſt obitum viri nuptiis renuntiaverat, eandemque vivendi rationem erat amplexa. Captæ ſunt autem fraude ac delatione Judæorum, qui eas accuſaverant quòd reginam maleficiis appetiiſſent, ob Symeonis necem infenſæ. At regina, ut ſolent ægroti abominandis remediis aures accommodare, eam delationem veram eſſe credidit, præſertim cum à Judæis profecta eſſet. Idem enim cum ipſis ſentiebat, & Judaico ritu vivens, veraces illos ac ſibi benevolos eſſe exiſtimabat. Itaque Magi Tarbulam & reliquas duas corripientes, capitali ſupplicio addicunt, ſerraque bifariam diſſectas, patibulis ſuffixerunt: atque ad depellendum morbum, reginam per medium patibulorum tranſire juſſerunt. Porro Tarbulam iſtam decoram admodum ac formoſam fuiſſe perhibent: & quendam ex Magis ejus amore captum, miſsâ ad eam pecuniâ ſollicitaſſe eam de ſtupro, & ipſi & ſodalibus ipſius incolumitatem pollicitum, ſi morem ipſi gerere vellet. Illam vero obſcœnos ſermones ne auditu quidem ſuſtinentem, Magos quidem affeciſſe contumelia, eisque impudicitiam exprobraſſe: ad mortem vero alacri animo properaſſe, mori potius optantem quàm virginitatem prodere. Cæterum cum ex præcepto Saporis, ſicut antea retulimus, reliquis omnibus prætermiſſis, ſoli ſacerdotes ac Doctores Chriſtianæ legis comprehendi cœpiſſent, Magi & eorum principes regionem Perſarum circumeuntes omni ſtudio perquiſitos Epiſcopos ac Presbyteros divexarunt, ac præcipue in partibus Adiabenorum. Hæc Perſidis regio eſt, maxima ex parte à Chriſtianis habitata.

κεχαρισμένος ὤν· ὃν ἐπείπερ ἀποθανόντα σαβώρης ἐπύθετο, περίλυπος εἰς ἄγαν ἐγένετο· καὶ τὴν δημώδη ταύτην σφαγὴν ἔπαυσε· μόνους δὲ τοὺς καθηγητὰς θρησκείας ἀναιρεῖσθαι προσέταξε.

Κεφ. ιβ'.

Περὶ ταρβούλας τῆς ἀδελφῆς συμεῶνος, καὶ τῆς μαρτυρίας αὐτῆς.

Κατ᾽ ἐκεῖνο δὲ καιροῦ, νόσῳ περιπεσούσης τῆς βασιλίδος, συλλαμβάνεται συμεῶνος τοῦ ἐπισκόπου ἀδελφή, ταρβούλα τοὔνομα, ἱερὰ παρθένος, συνθεράπαινά τε αὐτὸν μετιοῦσα βίον, καὶ ἀδελφὴ μετὰ θάνατον ἀνδρὸς, γάμον ἀπαγορεύσασα καὶ ὁμοίως ἀγομένη· ἐγένετο δὲ αὐτῶν ἡ σύλληψις ἐκ διαβολῆς τῶν ἰουδαίων, ἐπαιτιωμένων ὡς φαρμάκοις τῇ κρατούσῃ ἐπεβούλευσαν, διὰ τὸν συμεῶνος θάνατον μηνιῶσαι· ἡ δὲ βασιλὶς, φιλεῖ γάρ πως τὸ νοσοῦν τοῖς ἀπευκταίοις ὑπέχειν τὴν ἀκοὴν, ὑπέλαβεν ἀληθῆ εἶναι τὴν διαβολὴν, καὶ μάλιστα παρὰ ἰουδαίων γεγενημένην· ἐπεὶ τὰ αὐτῶν ἐφρόνει, καὶ ἰουδαϊκῶς ἔζη, ἀψευδεῖς αὐτοὺς ἡγεῖτο καὶ εὔνους αὐτῇ. περιλαβόντες δὲ οἱ μάγοι ταρβούλαν καὶ τὰς ἄλλας, καταδικάζουσιν αὐτῶν θάνατον· καὶ πρίονι διχῆ τεμόντες, ἀνεσκολόπισαν, καὶ ὡς ἀποτρόπαιον νόσου, διὰ μέσου τῶν σκολόπων τὴν βασιλίδα παρελθεῖν ἐποίησαν. λέγεται δὲ ταρβούλαν ταύτην, εὐπρεπῆ καὶ μάλα καλὴν τὸ εἶδος γενομένην, ἐρασθῆναι δὲ αὐτῆς τινα τῶν μάγων, καὶ περὶ τῆς συνουσίας λάθρα προσπέμψασθαι μισθὸν, ἐπαγγελλόμενον εἰ πεισθείη σωτηρίαν αὐτῇ καὶ ταῖς συνούσαις· τὴν δὲ μὴ τῆς ἀσελγοῦς ἀκοῆς ἀνασχομένην, ἐνυβρίσαι αὐτοῖς καὶ ἀκολασίαν ὀνειδίσαι· προθυμοτάτην δὲ μᾶλλον ἑλέσθαι ἀποθανεῖν, ἢ τῆς παρθενίας προδοῦναι. κρατήσαντος δὲ κατὰ τὴν σαβώρου πρόσταξιν, ὡς ἐν τοῖς πρόσθεν εἴρηται, τοὺς ἄλλους ἐᾶν, μόνους δὲ συλλαμβάνεσθαι τοὺς ἱερέας τοὺς ὑφηγητὰς τοῦ δόγματος, περιιόντες μάγοι τε καὶ ἀρχιμάγοι ἀνὰ τὴν περσῶν γῆν, ἐπιμελῶς ἐκακούργουν τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους, μάλιστα δὲ κατὰ τὴν διαβηνῶν χώραν· ἀν... μα δὲ τοῦτο περσικὸν, ὡς ἐπίπαν χριστιανίζον.